UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

Caput XXVI. De sancto Donato Euroeae Episcopo, & de Theotimo Scytharum Antistite.

**urn:nbn:de:hbz:466:1-14233**

Visual Library

θεοδόσιος ὁ βασιλεύς, καὶ οἱ μετ' αὐτὸν ταῦτα ἐκράτυναν· καὶ ἐξ ἐκείνου νυνὶ φυλαττομένην ὁρῶμεν. τούτου δὲ τοῦ ἀνδρὸς καὶ τόδε τὸ ἔργον ἀξιομνημόνευτον περιλαβεῖν τῇ γραφῇ, ἀναγκαῖον εἶναί μοι δοκεῖ. ἕλλην τις τῶν ἐν τέλει, τὸν γρατιανὸν ἐλοιδόρει, καὶ τοῦ πατρὸς ἀνάξιον ἀπεκάλει· καὶ γραφὴν ἐπὶ τούτοις ὑπομείνας κατεδικάσθη θανεῖν. ἀγομένου δὲ αὐτοῦ ἐπὶ τιμωρίᾳ, ἧκεν Ἀμβρόσιος εἰς τὰ βασίλεια, περὶ αὐτοῦ δεησόμενος· ὑπὸ σπουδῆς δὲ τῶν αὐτῷ ἐπιβουλευόντων ἀσχολουμένου γρατιανοῦ περὶ θέαν κυνηγίων, οἵας εἰώθασιν οἱ βασιλεῖς ἐπιτελεῖν, τερπωλῆς ἰδίας χάριν, οὐ δημοσίας, μηδενός τε τῶν ἐπὶ ταῖς βασιλικαῖς πύλαις τεταγμένων μηνύοντος, ὡς οὐ καιροῦ ὄντος, ὑπεχώρησεν· ἐλθὼν δὲ ἐπὶ τὴν πύλην ᾗ τοὺς θῆρας εἰσῆγον, ἔλαθε· καὶ συνεισελθὼν τοῖς κυνηγοῖς, οὐ πρότερον καθυφῆκεν, οὐδὲ γρατιανοῦ καὶ τῶν ἀμφ' αὐτὸν ἀντιβολούντων εἶξεν, εἰ μὴ παραυτίκα σωτήριον ψῆφον τοῦ βασιλέως ἐξέσπασεν, τὸν ἐπὶ θανάτῳ ἀγόμενον ἐλευθεροῦσαν· οὐ μὴν, ἀλλὰ καὶ περὶ τὴν φυλακὴν τῶν νόμων τῆς ἐκκλησίας, καὶ τὴν ἀγωγὴν τῶν ὑπ' αὐτὸν κληρικῶν, σπουδαῖος ἄγαν ἐγένετο· ἐκ πολλῶν δὲ τῶν αὐτῷ κατωρθωμένων, τάδε μοι εἰρήσθω, εἰς ἀπόδειξιν ἧς εἶχε διὰ Θεὸν πρὸς τοὺς κρατοῦντας παῤῥησίας.

A Imperator Theodosius comprobavit, & successores ejus postea confirmarunt; atque ex eo tempore in hunc usque diem observari eam videmus. Ejusdem viri istud quoque memorabile facinus huic operi inserere, necessarium duxi. Quidam religione Paganus, sed dignitate conspicuus, Gratianum conviciis laceraverat, & patre indignum appellaverat, ob idque in judicium vocatus, capitali sententia damnatus fuerat. Qui cum ad supplicium duceretur, Ambrosius pro illo intercessurus ad palatium perrexit. B Sed cum Gratianus studio atque impulsu eorum qui ipsi insidiabantur, spectaculo venationum sese oblectaret, cujusmodi ab Imperatoribus edi solent, privatæ, non autem publicæ voluptatis causâ; nec ullus eorum qui ad palatii fores constituti erant, adventum ejus Imperatori nuntiaret, utpote intempestivum, discessit. Cumque venisset ad portam per quam bestiæ inducebantur, latenter unà cum venatoribus introgessus est: nec prius remisit, nec Gratiani & aulicorum ejus obsecrationibus cessit, quam extortâ ab Imperatore indulgentiâ, qua morti addictus liberaretur. C Idem porro in observandis legibus Ecclesiasticis, & in clericorum suorum disciplina diligentissimus fuit. Atque ex multis quæ ab eo sunt præclare gesta, hæc breviter à me dicta sint, ad declarandam ejus libertatem, qua erga Imperatores propter Deum est usus.

---

## Κεφ. κς'.

Περὶ τοῦ ἁγίου δονάτου ἐπισκόπου εὐρωίας, καὶ περὶ θεοτίμου τῶν σκυθῶν ἀρχιερέως.

Κατὰ τοῦτον δὲ πολλοὶ πολλαχοῦ τῆς οἰκουμένης ἐν ἐπισκόποις διέπρεπον, ὡς δονάτος ὁ εὐρωίας τῆς ἠπείρου· ᾧ δὴ πολλά τε καὶ ἄλλα τεθαυματουργῆσθαι μαρτυροῦσιν οἱ ἐπιχώριοι· μάλιστα δὲ τὰ περὶ ἀναίρεσιν τοῦ δράκοντος, ὃς περὶ τὰς καλουμένας χαμαιγεφύρας παρὰ τὴν λεωφόρον ἐφώλευε, καὶ πρόβατα, καὶ αἶγας καὶ βόας, ἵππους τε καὶ ἀνθρώπους ἐξήρπαζεν· οὐ γὰρ ξίφος ἢ δόρυ φέρων, οὐδὲ ἄλλο τι βέλος ἔχων, ἐπὶ τουτὶ τὸ θηρίον ἦλθεν· ἀλλ' ὡς ἤθελο, καὶ τὴν κεφαλὴν

## Caput XXVI.

*De sancto Donato Euroeæ Episcopo, & de Theotimo Scytharum Antistite.*

D Eodem tempore in diversis orbis partibus multi inter Episcopos enituerunt. Ex his fuit Donatus, Euroeæ in Epiro Episcopus: quem cum alia multa admirabilia perpetrasse, ejus loci incolæ testantur; tum illud præcipue quod in draconis interfectione gessit, qui circa locum quem Chamægephyras nominant, juxta aggerem publicum latitans, oves, capras, & boves, equos item atque homines rapiebat. Neque enim ille gladium, aut hastam, aut aliud quodlibet telum gestans, hanc beluam adortus est. Sed cum draco adventum



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

illius ſenſiſſet, & tanquam impetum in A eum facturus, caput extuliſſet, ipſe ex adverſo ejus ſtans, ſignum crucis in aere digito depinxit, & in illum exſpuit. At draco ſputo in os accepto, ſtatim concidit: & mortuus jacens, nihilo minor ſerpentibus illis apparuit, qui apud Indos eſſe memorantur. Incolæ certe, octo boum jugis in proximum eum campum cum extraxiſſent, concremarunt, ne putreſcens aerem inficeret, & peſtem ipſis afferret. Huic Donato ſepulchrum eſt illuſtris Eccleſia, quæ ab ipſo cognomen accepit. Iuxta Eccleſiam fons eſt vberri- B mus, quem Deus precibus ejus annuens, illic edidit, cum antea non eſſet. Erat enim is locus prorſus aridus. Nam cum ipſe aliquando ex itinere illuc advenisset, & hi qui cum illo erant, aquæ penuriâ torquerentur; humum manu fodiens, Deum oraſſe dicitur: ac mox completa oratione, ingens aquarum copia effluxiſſe perhibetur, quæ ex eo tempore nunquam defecit. Hujus rei teſtes ſunt qui Iſoriam incolunt, vicum urbis Euroeæ in quo hæc geſta ſunt. Iiſdem temporibus, Tomi- C tanorum & totius Scythiæ Eccleſiam Theotimus gubernabat, vir in monaſtica Philoſophia innutritus; quem Hunni Barbari qui circa Iſtrum habitabant, virtutis cauſa admirantes, Deum Romanorum vocabant. Divina quippe miracula in illo fuerant experti. Fertur ſane, cum ille aliquando juxta regionem Barbarorum qui illic erant iter faceret, ex adverſo occurriſſe quoſdam qui eadem via pergerent Tomin. Cumque ejus comites, tanquam mox perituri lamentarentur, ipſe ex equo deſiliens Deum oravit. Tum vero Barbari nec illo, nec comitibus illius, nec equis è quibus deſcenderant conſpectis, prætergreſſi ſunt. Porro cum D Barbari illi crebris incurſionibus Scytas vaſtarent, eos quamvis ſuopte ingenio feri eſſent, ad manſuetudinem traduxit, conviviis illos excipiens, & muneribus demulcens. Hac de cauſa Barbarus quidam cum illum opulentum eſſe ſuſpicaretur, per inſidias comprehendere molitus eſt. Et parato ad id laqueo, ſcuto innixus, uti ſolebat cum hoſtes alloqueretur, ſublata dextra laqueum Theotimo injicere parabat, tanquam eum ad ſe & ad contribules ſuos attracturus. Verum in

A ὡς ἐφορμήσων ἐξανέστησεν, ἀντιπρόσωπον αὐτῷ εἰς σταυροῦ σύμβολον τὸν ἀέρα τῷ δακτύλῳ κατεσήμανε· καὶ ἐπέπτυσε· τὸ δὲ, τὸν σίελον εἰς τὸ στόμα δεξάμενον, αὐτίκα κατέπεσε· καὶ νεκρὸν κείμενον, οὐ μεῖον τῶν παρ' ἰνδοῖς ἱστορουμένων ἑρπετῶν διεφάνη τὸ μέγεθος· ἀμέλει τοι ὡς ἐπυθόμην, ὑπὸ ζευγῶν ὀκτὼ εἰς τὸ πλησίον πεδίον ἐξελκύσαντες αὐτὸ οἱ ἐπιχώριοι, κατέκαυσαν, ὅπως μὴ διασαπεὶς, τὸν ἀέρα λυμανεῖται, ἢ λοι- B μώδη νόσον ποιήσῃ. δονάτῳ δὲ τούτῳ τάφος ἐστὶν ἐπίσημος εὐκτήριος, οἶκος ἀπ' αὐτοῦ τὴν ἐπωνυμίαν ἔχων· περὶ τοῦτον δὲ πηγὴ ὑδάτων πολλῶν, ἣν οὐ πρότερον οὖσαν, εὐξαμένου αὐτοῦ, τὸ θεῖον ἀνέδωκεν. ἦν μὲν γὰρ ἐκεῖ ὁ χῶρος παντελῶς ἄνυδρος· ἐξ ὁδοιπορίας δέ ποτε ἐνθάδε παραγενόμενος, λέγεται τῶν ἀμφ' αὐτὸν ἀπορίᾳ ὕδατος ταλαιπωρουμένων, τῇ χειρὶ τὴν γῆν λαχήνας εὔξασθαι· ἅμα δὲ τῇ εὐχῇ, ἄφθονον ἀναβλύσαι ὕδωρ, καὶ ἐξ ἐκείνου μὴ διαλιπεῖν. ἀλλὰ τούτων μὲν C μάρτυρες, οἱ τὴν ἰσωρίαν οἰκοῦντες κώμην εὐροίας, καθ' ἣν τάδε συνέβη. ἐν τούτῳ δὲ, τόμεως καὶ τῆς ἄλλης σκυθίας τὴν ἐκκλησίαν ἐπετρόπευε θεότιμος σκύθης, ἀνὴρ ἐν φιλοσοφίᾳ τραφείς. ὃν ἀγάμενοι τῆς ἀρετῆς οἱ περὶ τὸν ἴστρον οὖννοι βάρβαροι, Θεὸν ῥωμαίων ὠνόμαζον· καὶ γὰρ δὴ καὶ θείων ἐπ' αὐτῷ πραγμάτων ἐπειράθησαν. λέγεται γοῦν ὡς ὁδεύοντι ποτὲ περὶ τὴν ἐνθάδε βαρβάρων γῆν, ὑπήντων τινὲς ἐναντίαν τὴν αὐτὴν ὁδὸν ἐπὶ τόμιν ἐλαύνοντες· ὀλοφυρομένων δὲ τῶν ἀμφ' αὐτὸν ὡς αὐτίκα ἀπολουμένων, ἀποβὰς τοῦ ἵππου, ηὔξατο· οἱ δὲ βάρβαροι μήτε αὐτὸν, μήτε τοὺς ἑπο- D μένους, ἢ τοὺς ἵππους ὧν ἀπέβησαν θεασάμενοι, παρέδραμον. ἐπεὶ δὲ πολλάκις ἐπιόντες ἐκακοποίουν τοὺς σκύθας, φύσει θηριώδεις ὄντας, εἰς ἡμερότητα μετέβαλεν, ἑστιῶν τε καὶ δώροις φιλοφρονούμενος· ἐντεῦθεν δὲ βάρβαρος ἀνὴρ ὑπολαβὼν εὔπορον εἶναι, ἐπεβούλευσεν αὐτὸν ἑλεῖν· καὶ βρόχον παρασκευάσας ἀσπίδι ἐπερειδόμενον, ὥσπερ εἰώθει τοῖς πολεμίοις διαλεγόμενος, ἀνασχὼν τὴν δεξιὰν, ἀκοντίζειν ἐπ' αὐτὸν τὸ σχοινίον ἔμελλεν, ὡς πρὸς ἑαυτὸν καὶ τοὺς ὁμοφύλους ἑλκύσων· ἅμα δὲ τῇ

ἐπιχειρήσει, ἀνατεταμένη ἡ χεὶρ πρὸς τὸν ἀέρα διέμεινε· καὶ οὐ πρότερον ὁ βάρβαρος τῶν ἀοράτων ἠφείθη δεσμῶν, εἰ μὴ τῶν ἄλλων ἀντιβολούντων, ὑπὲρ αὐτοῦ τὸν Θεὸν ἱκέτευσε Θεότιμος. Φασὶ δὲ κομήτην αὐτὸν διαμεῖναι καθ' ὃ σχῆμα φιλοσοφεῖν ἀρξάμενος ἐπετήδευσε· λιτὴν δὲ τὴν δίαιταν· τροφῆς δὲ, οὐ τὸν αὐτὸν, ἀλλ' ἐν τῷ πεινῆν ἢ διψῆν τὸν καιρὸν ὁρίσαι· φιλοσόφου γὰρ ἦν οἶμαι, καὶ τούτοις πρὸς χρείαν, οὐ διὰ ῥᾳστώνην εἴκειν.

A ipso conatu, manus illius in sublime extensa, ita ut erat permansit. Nec prius invisibilibus illis vinculis liberatus est Barbarus, quàm aliis intercedentibus Theotimus Deum pro illo orasset. Ajunt porro eum perpetuo comam aluisse, quo habitu philosophari primum instituerat. Victu autem fuisse admodum tenui, & tempus sumendo cibo non idem semper habuisse, sed cum esuriret forte aut sitiret. Est enim, meo quidem judicio, proprium Philosophi, pro necessitate, non ex luxu, istis cedere.

B

## Κεφ. κζ.

Περὶ τοῦ ἁγίου Ἐπιφανίου τοῦ ἐπισκόπου Κύπρου, καὶ μερική τις τῶν κατ' αὐτὸν διήγησις.

Περὶ δὲ τοῦτον τὸν χρόνον, καὶ Ἐπιφάνιος τὴν Κυπρίων ἐπεσκόπει μητρόπολιν· ὃν οὐ μόνον τὰ περὶ τὴν πολιτείαν ἐπίσημον ἐπ' ἀρεταῖς ἀπέδειξεν, ἀλλὰ καὶ ὅσα παράδοξα ζῶντος αὐτοῦ, καὶ μετὰ τελευτὴν τιμῶν τὸν ἄνδρα ὁ Θεὸς ἐπετέλεσεν· ἀποθανόντι γὰρ, ὃ μὴ περιόντι ὑπῆρξε, λόγος ἐπὶ τῷ τάφῳ C αὐτοῦ εἰσέτι νῦν δαίμονας ἀπελαύνεσθαι, καὶ ἰάσεις τινὰς γίνεσθαι· ἐν ᾧ δὲ ζῶν ἐτύγχανε, πολλὰ θαυμάσια αὐτῷ ἀνατιθέασι· τῶν γοῦν εἰς ἡμᾶς ἐλθόντων, ἐκεῖνο· μεταδοτικὸς ὢν περὶ δεομένους, ἢ ναυαγίοις, ἢ ἄλλως δυστυχήσαντας, ἐπειδὴ πάλαι τὴν οὐσίαν ἀνάλωσεν, εἰς δέον ἐνταῦθα τοῖς τῆς ἐκκλησίας χρήμασι· πλεῖστα δὲ ἦν· πάντοθεν γὰρ πολλοὶ τὸν πλοῦτον εὐσεβῶς ἀναλίσκειν προθέμενοι, καὶ ζῶντες τῇ ὑπ' αὐτὸν ἐκκλησίᾳ παρεῖχον, καὶ τελευτῶντες κατελίμπανον· ἐθάῤῥουν γὰρ ὡς οἰκονομικὸς, καὶ θεοφιλὴς ὢν, κατὰ γνώμην αὐτοῖς ἀναλώσει τὰ δῶρα. Φασὶ D γοῦν ποτὲ ὀλίγων ἔτι λειπομένων χρημάτων, χαλεπῆναι τῆς ἐκκλησίας τὸν οἰκονόμον, καὶ ὡς δαπανὸν αὐτὸν μέμψασθαι· τὸν δὲ, μὴ δ' οὕτως καθυφεῖναι περὶ τοὺς ἐνδεεῖς φιλοτιμούμενον· ἐπεὶ δὲ πάντα ἀνάλωτο, ἐπιστάς τις τῷ δωματίῳ οὗ διῆγεν ὁ οἰκονόμος, βαλάντιον

## Caput XXVII.

*De sancto Epiphanio Episcopo Cypri: & rerum ab eo gestarum compendiosa narratio.*

Per idem tempus in metropoli insulæ Cypri Epiphanius Episcopatum gerebat. Quem non solum vitæ conversatio illustrem ob virtutes reddidit, verum etiam miracula, quæ Deus honore illum afficere volens, ipso adhuc superstite, & post obitum ejus edidit. Mortuo enim illo, id quod viventi non contigerat, ad sepulchrum ejus dæmones etiamnum fugari, & morbi quidam curari dicuntur. Dum autẽ in vivis superesset, multa illi miracula tribuuntur. Ex quibus istud ad notitiam nostram pervenit. Cum liberalis esset erga egenos, qui vel naufragio, vel alio quopiam casu ad inopiam redacti essent; quoniam facultates suas jam pridem omnes absumpserat, Ecclesiæ bonis, ubi opus erat, prolixè abusus est. Erat autem opulentissima ejus Ecclesia. Multi enim ex variis orbis partibus, qui opes suas in pios usus impendere studebant, & superstites ejus Ecclesiæ eas præbebant, & morientes eidem relinquebant. Confidebant enim illum, utpote qui probus dispensator, Deique amantissimus esset, res ab ipsis donatas ex ipsorum sententia ac voluntate erogaturum. Quodam igitur tempore, cum paucæ admodum pecuniæ superessent, ajunt Ecclesiæ œconomum succensuisse, cumque tanquam prodigum reprehendisse. Illum vero ne tum quidem de solita erga pauperes munificentia quidquam remisisse. Omnibus autem consumptis, repente nescio quis ad cubiculum, in quo degebat œconomus, accedens, saccum in



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN